13 Μαρτίου 2026

# Ζωντανά σήμερα η Γ’ Στάση των Χαιρετισμών στην Pemptousia TV

/ Γενικά Θέματα / Ειδήσεις και Ανακοινώσεις / Εκκλησία / Εκκλησιαστικοί Ύμνοι, Μουσική, Τραγούδια και Χοροί




**Η Ακολουθία των Χαιρετισμών προς την Υπεραγία Θεοτόκο κατά την οποία θα διαβαστεί η Γ’ Στάση του Ακαθίστου Ύμνου θα τελεσθεί σήμερα, Παρασκευή 13 Μαρτίου 2026, σε όλους τους ναούς. Η ψηφιακή τηλεόραση της Pemptousia TV θα μεταδώσει ζωντανά στις 19:30 την Ακολουθία από τον Ιερό Ναό Αγίου Γεωργίου Παπάγου.**

Θα ψάλλει η Ελληνική Βυζαντινή Χορωδία υπό τη διεύθυνση του Πρωτοψάλτη κ. Γεωργίου Κωνσταντίνου.

**Επίσης ζωντανές μεταδόσεις θα γίνουν την ίδια ώρα στις:**

20/3 – Δ’ Στάση Χαιρετισμών

27/3 – Ακολουθία Ακαθίστου Ύμνου

**Η Β’ Στάση των Χαιρετισμών:**

**Νέαν ἔδειξε κτίσιν,**

ἐμφανίσας ὁ Κτίστης,

ἡμῖν τοῖς ὑπ’ αὐτοῦ γενομένοις·

ἐξ ἀσπόρου βλαστήσας γαστρός,

καὶ φυλάξας ταύτην,

ὥσπερ ἦν ἄφθορον,

ἵνα τὸ θαῦμα βλέποντες,

ὑμνήσωμεν αὐτὴν βοῶντες·

Χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας,

χαῖρε, τὸ στέφος τῆς ἐγκρατείας.

Χαῖρε, ἀναστάσεως τύπον ἐκλάμπουσα,

χαῖρε, τῶν Ἀγγέλων τὸν βίον ἐμφαίνουσα.

Χαῖρε, δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί,

χαῖρε, ξύλον εὐσκιόφυλλον, ὑφ’ οὗ σκέπονται πολλοί.

Χαῖρε, κυοφοροῦσα ὁδηγὸν πλανωμένοις,

χαῖρε, ἀπογεννῶσα λυτρωτὴν αἰχμαλώτοις.

Χαῖρε, Κριτοῦ δικαίου δυσώπησις,

χαῖρε, πολλῶν πταιόντων συγχώρησις.

Χαῖρε, στολὴ τῶν γυμνῶν παρρησίας,

χαῖρε, στοργὴ πάντα πόθον νικῶσα.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

**Ξένον τόκον ἰδόντες,**

ξενωθῶμεν τοῦ κόσμου, τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες·

διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς Θεός,

ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος·

βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος,

τοὺς αὐτῷ βοώντας·

Ἀλληλούια.

**Ὅλως ἦν ἐν τοῖς κάτω,**

καὶ τῶν ἄνω οὐδόλως ἀπῆν,

ὁ ἀπερίγραπτος Λόγος·

συγκατάβασις γὰρ θεϊκή,

οὐ μετάβασις τοπικὴ γέγονε,

καὶ τόκος ἐκ Παρθένου θεολήπτου,

ἀκουούσης ταῦτα·

Χαῖρε, Θεοῦ ἀχωρήτου χώρα,

χαῖρε, σεπτοῦ μυστηρίου θύρα.

Χαῖρε, τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα,

χαῖρε, τῶν πιστῶν ἀναμφίβολον καύχημα.

Χαῖρε, ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν Χερουβείμ,

χαῖρε, οἴκημα πανάριστον τοῦ ἐπὶ τῶν Σεραφείμ.

Χαῖρε, ἡ τἀναντία εἰς ταὐτὸ ἀγαγοῦσα,

χαῖρε, ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα.

Χαῖρε, δι’ ἧς ἐλύθη παράβασις,

χαῖρε, δι’ ἧς ἠνοίχθη παράδεισος.

Χαῖρε, ἡ κλεὶς τῆς Χριστοῦ βασιλείας,

χαῖρε, ἐλπὶς ἀγαθῶν αἰωνίων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

**Πᾶσα φύσις Ἀγγέλων,**

κατεπλάγη τὸ μέγα,

τῆς σῆς ἐνανθρωπήσεως ἔργον·

τὸν ἀπρόσιτον γὰρ ὡς Θεόν,

ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον,

ἡμῖν μὲν συνδιάγοντα,

ἀκούοντα δὲ παρὰ πάντων οὕτως·

Ἀλληλούια.

**Ρήτορας πολυφθόγγους,**

ὡς ἰχθύας ἀφώνους,

ὁρῶμεν ἐπὶ σοὶ Θεοτόκε·

ἀποροῦσι γὰρ λέγειν,

τὸ πῶς καὶ Παρθένος μένεις,

καὶ τεκεῖν ἴσχυσας·

ἡμεῖς δὲ τὸ μυστήριο ν θαυμάζοντες,

πιστῶς βοῶμεν·

Χαῖρε, σοφίας Θεοῦ δοχεῖον,

χαῖρε, προνοίας αὐτοῦ ταμεῖον.

Χαῖρε, φιλοσόφους ἀσόφους δεικνύουσα,

χαῖρε, τεχνολόγους ἀλόγους ἐλέγχουσα.

Χαῖρε, ὅτὶ ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί,

χαῖρε, ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί.

Χαῖρε, τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα,

χαῖρε, τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα.

Χαῖρε, βυθοῦ ἀγνοίας ἐξέλκουσα,

χαῖρε, πολλοὺς ἐν γνώσει φωτίζουσα.

Χαῖρε, ὁλκὰς τῶν θελόντων σωθῆναι,

χαῖρε, λιμὴν τῶν τοῦ βίου πλωτήρων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

**Σῶσαι θέλων τὸν κόσμον,**

ὁ τῶν ὅλων κοσμήτωρ,

πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε·

καὶ ποιμὴν ὑπάρχων ὡς Θεός,

δι’ ἡμᾶς ἐφάνη καθ’ ἡμᾶς ἄνθρωπος·

ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας,

ὡς Θεὸς ἀκούει·

Ἀλληλούια.